ctus: ita quoque in honoris appetitione licet & magis quàm oportet & minus, & vnde oportet, & vt oportet vnumquenque ſe gerere. nam & ambitioſum vituperamus, quippe qui & magis quàm oportet, & vnde non oportet, honorem affectet, & inambitioſum, eò quòd ne ob honeſta quidem facta honore affici velit. Interdum tamen fit vt vel ambitioſum quaſi virilem & elegantem, vel inambitioſum quaſi modeſtum & temperantem laude proſequamur, vt ſuperioribus in libris dictum iam eſt. Perſpicuum autem eſt cùm pluribus modis talis cuiuſdam rei ſtudioſus & cupidus aliquis dicatur, non ſemper nos ad idem honoris cupidum, id eſt ambitioſum referre: ſed cùm laudamus ad id quòd magis quàm plerique è vulgo: cùm vituperamus ad id quòd magis quàm oporteat, honores ipſos appetat. Quia verò nomine vacat mediocritas, fit, vt de ea quaſi deſerta ſede extrema decertent. Verùm in quib. eſt exceſſus & defectus, ibidē quoque eſſe medium neceſſe eſt. appetunt autem honores & magis & minus: ergo etiam vt oportet. Laudatur igitur hîc habitus, quæ eſt circa honorem nomine vacans mediocritas: quæ ſanè ſi ambitioni comparetur, inambitioſitas: ſi inambitioſitati, ambitioſitas: ſi vtriſque, vtraque eſſe quodammodo videtur. Id quod etiam circa alias virtutes eſt. Extremi autem hic videntur inter ſe opponi, propterea quòd medium nullum nomen ſortitum eſt.

CAPVT XI.

IAm verò manſuetudo circa iram mediocritas eſt. nam cùm nomine hæc in re careat medium & ferè etiam extrema, ad medium manſuetudinem ipſam referimus, licet ad defectum, qui nomen nō habet, declinare magis videatur, at exceſſus iracundia quædam dici poteſt: nam affectus eſt ira quam quæ efficiunt, ſunt multa & diuerſa. Qui igitur ob quæ oportet, & quibus oportet iraſcitur, adde etiam quo modo, & quando, & quouſque debet, laudatur: eſſéque is manſuetus poteſt: quippe cùm manſuetudo ipſa laude afficiatur. Manſuetus enim ille eſt, qui perturbatione vacat, & ab affectu minimè ducitur, ſed quemadmodum ratio ipſa ſtatuerit, ita & ob id, & tam diu ſuccenſet: peccaréque potius videtur in defectu: quippe qui non ad vltionem, ſed ad veniam dandam promptior ſit. At defectus, ſiue iræ vacuitas quædam ſit, ſiue quippiam aliud vituperatur: nam qui & ob quæ oportet, & ſicut oportet, & quando

A τε καὶ ἔλλειψις· οὕτω καὶ ἐν τιμῆς ὀρέξει, τὸ
μᾶλλον ἢ δεῖ, καὶ ἧττον, καὶ τὸ ὅθεν δεῖ, καὶ
ὡς δεῖ. τόν τε γὰρ φιλότιμον ψέγομεν, ὡς
καὶ μᾶλλον ἢ δεῖ, καὶ ὅθεν οὐ δεῖ, τῆς τιμῆς
ἐφιέμενον. τόν τε ἀφιλότιμον, ὡς οὐδ' ἐπὶ
τοῖς καλοῖς προαιρούμενον τιμᾶσθαι. ἔστι
δ' ὅτε τὸν φιλότιμον ἐπαινοῦμεν, ὡς ἀνδρώ-
δη καὶ φιλόκαλον· τὸν δὲ ἀφιλότιμον, ὡς μέ-
B τριον καὶ σώφρονα, ὥσπερ καὶ ἐν τοῖς πρώ-
τοις εἴπομεν. δῆλον δ' ὅτι πλεοναχῶς τοῦ
φιλοτοιούτου λεγομένου, οὐκ ἐπὶ τὸ αὐτὸ ἀεὶ
φέρομεν τὸν φιλότιμον· ἀλλ' ἐπαινοῦντες
μὲν, ἐπὶ τὸ μᾶλλον ἢ οἱ πολλοί· ψέγοντες
δὲ, ἐπὶ τὸ μᾶλλον ἢ δεῖ. ἀνωνύμου δ' οὔ-
σης τῆς μεσότητος, ὡς ἐρήμης, ἔοικεν ἀμφι-
σβητεῖν τὰ ἄκρα· ἐν οἷς δ' ἐστὶν ὑπερβολὴ
C καὶ ἔλλειψις καὶ τὸ μέσον. ὀρέγονται δὲ τιμῆς
καὶ μᾶλλον ἢ δεῖ, καὶ ἧττον. ἔστι δὴ καὶ ὡς
δεῖ. ἐπαινεῖται γοῦν ἡ ἕξις αὕτη, μεσότης
οὖσα περὶ τιμὴν ἀνώνυμος. φαίνεται δὲ
πρὸς μὲν τὴν φιλοτιμίαν, ἀφιλοτιμία· πρὸς δὲ
τὴν ἀφιλοτιμίαν, φιλοτιμία· πρὸς ἀμφότερα ἐν
ἀμφότερά πως. ἔοικε δὲ τοῦτ' εἶναι καὶ περὶ
τὰς ἄλλας ἀρετάς. ἀντικεῖσθαι δ' ἐνταῦθα
D οἱ ἄκροι φαίνονται, διὰ τὸ μὴ ὠνομάσθαι τὸν
μέσον.

Κεφάλαιον ια.

Πρᾳότης δ' ἐστὶ μεσότης περὶ ὀργάς·
ἀνωνύμου δ' ὄντος τοῦ μέσου, σχεδὸν
δὲ καὶ τῶν ἄκρων, ἐπὶ τὸν μέσον τὴν πρᾳό-
τητα φέρομεν, πρὸς τὴν ἔλλειψιν ἀποκλί-
νουσαν, ἀνώνυμον οὖσαν· ἡ δ' ὑπερβολὴ, ὀρ-
γιλότης τις λέγοιτ' ἄν. τὸ μὲν γὰρ πάθος ἐστὶν
E ὀργή. τὰ δ' ἐμποιοῦντα πολλὰ καὶ διαφέ-
ροντα. ὁ μὲν οὖν ἐφ' οἷς δεῖ, καὶ οἷς δεῖ ὀργι-
ζόμενος, ἔτι δὲ καὶ ὡς δεῖ, καὶ ὅτε, καὶ ὅσον
χρόνον, ἐπαινεῖται· πρᾶος δὴ οὗτος ἂν εἴη, εἴπερ
ἡ πρᾳότης ἐπαινεῖται. βούλεται γὰρ ὁ πρᾶος, ἀ-
τάραχος εἶναι, καὶ μὴ ἄγεσθαι ὑπὸ τοῦ πάθους· ἀλλ'
ὡς ἂν ὁ λόγος τάξῃ, οὕτω καὶ ἐπὶ τούτοις,
καὶ ἐπὶ τοσοῦτον χρόνον χαλεπαίνειν. ἁ-
μαρτάνειν δὲ δοκεῖ μᾶλλον ἐπὶ τὴν ἔλλει-
F ψιν. οὐ γὰρ τιμωρητικὸς ὁ πρᾶος, ἀλλὰ
μᾶλλον συγγνωμονικός. ἡ δ' ἔλλειψις, εἴτ'
ἀοργησία τίς ἐστιν, εἴθ' ὅ, τι δή ποτε, ψέγε-
ται. οἱ γὰρ μὴ ὀργιζόμενοι ἐφ' οἷς δεῖ,
ἠλίθιοι δοκοῦσιν εἶναι, καὶ οἱ μὴ ὡς δεῖ

μὴ δ' ὅτε